κατά γε δὴ τούτους διοίσει τοὺς τρόπους ἀμήχανον ὅσον· ὥστε δοκεῖν, οὕτω μὲν εἰδέναι μηδὲν ἄτοπον, ἄλλως δὲ θαυμαστόν. ἔτι, τὸ ἔχειν τὴν ἐπιστήμην ἄλλον τρόπον τῶν νῦν ῥηθέντων ὑπάρχει τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ, ἔχειν μὲν, μὴ χρῆσθαι δὲ, διαφέρουσαν ὁρῶμεν τὴν ἕξιν· ὥστε καὶ ἔχειν πως, καὶ μὴ ἔχειν· οἷον, τὸν καθεύδοντα, καὶ μαινόμενον, καὶ οἰνωμένον. ἀλλὰ μὴν οὕτω διατίθενται οἵ γε ἐν τοῖς πάθεσιν ὄντες· θυμοὶ γὰρ, καὶ ἐπιθυμίαι ἀφροδισίων, καὶ ἔνια τῶν τοιούτων, ἐπιδήλως καὶ τὸ σῶμα μεθιστᾶσιν· ἐνίοις δὲ καὶ μανίας ποιοῦσι. δῆλον οὖν ὅτι ὁμοίως ἔχειν λεκτέον τοὺς ἀκρατεῖς τούτοις. τὸ δὲ λέγειν τοὺς λόγους τοὺς ἀπὸ τῆς ἐπιστήμης, οὐδὲν σημεῖον· καὶ γὰρ οἱ ἐν τοῖς πάθεσι τούτοις ὄντες, ἀποδείξεις, καὶ ἔπη λέγουσιν Ἐμπεδοκλέους· καὶ οἱ πρῶτον μαθόντες, συνείρουσι μὲν τοὺς λόγους, ἴσασι δ' οὔπω· δεῖ γὰρ συμφυῆναι· τοῦτο δὲ χρόνου δεῖται· ὥστε καθάπερ τοὺς ὑποκρινομένους, οὕτως ὑποληπτέον λέγειν καὶ τοὺς ἀκρατευομένους. ἔτι, καὶ ὧδε φυσικῶς ἄν τις ἐπιβλέψειε τὴν αἰτίαν. ἡ μὲν γὰρ, καθόλου δόξα· ἡ δὲ ἑτέρα, περὶ τῶν καθ' ἕκαστά ἐστιν, ὧν αἴσθησις ἤδη κυρία· ὅταν δὲ μία γένηται ἐξ αὐτῶν, ἀνάγκη τὸ συμπερανθὲν, ἔνθα μὲν φάναι τὴν ψυχὴν, ἐν δὲ ταῖς ποιητικαῖς πράττειν εὐθύς. οἷον, εἰ παντὸς γλυκέος γεύεσθαι δεῖ, τουτὶ δὲ γλυκὺ, ὡς ἕν τι τῶν καθ' ἕκαστον, ἀνάγκη τὸν δυνάμενον καὶ μὴ κωλυόμενον, ἅμα τούτῳ καὶ πράττειν. ὅταν οὖν, ἡ μὲν καθόλου ἐνῇ, ἡ κωλύουσα γεύεσθαι· ἡ δὲ ὅτι πᾶν τὸ γλυκὺ, ἡδὺ, τουτὶ δὲ, γλυκύ· αὕτη δὲ ἐνεργεῖ· τύχῃ δὲ ἐπιθυμία ἐνοῦσα, ἡ μὲν λέγει φεύγειν τοῦτο· ἡ δὲ ἐπιθυμία ἄγει· κινεῖν γὰρ ἕκαστον δύναται τῶν μορίων· ὥστε συμβαίνει ὑπὸ λόγου πως καὶ δόξης ἀκρατεύεσθαι, οὐκ ἐναντίας δὲ καθ' αὑτὴν, ἀλλὰ κατὰ συμβεβηκός· ἡ γὰρ ἐπιθυμία, ἐναντία, ἀλλ' οὐχ ἡ δόξα, τῷ ὀρθῷ λόγῳ· ὥστε καὶ διὰ τοῦτο τὰ θηρία οὐκ ἀκρατῆ, ὅτι οὐκ ἔχει καθόλου ὑπόληψιν, ἀλλὰ τῶν καθ' ἕκαστα φαντασίαν καὶ μνήμην. πῶς δὲ λύεται ἡ ἄγνοια, καὶ πάλιν γίνεται ἐπιστήμων ὁ ἀκρατής, ὁ αὐτὸς λόγος

A Incredibile igitur est, quantum hæc duo genera inter se differant: adeò vt si quis ita sciens peccet, nihil absurdi sit: sin illo modo, valde mirum. Præterea alio modo fieri potest, vt homines scientia præditi sint, quàm quos modos paulo antè exposuimus. Nam eius, qui scientiam habet, neque ea vtitur, habitum magnopere discrepare videmus, adeò vt habere quodammodo, & nõ habere videatur: qualis est is, B qui dormit, & furiosus, & vinolẽtus. Atqui homines aliqua animi perturbatione cõcitati, ita vt illi, sunt affecti. Iræ enim, & rerũ venerearũ cupiditates, & nõnullæ huiusmodi animi perturbationes, perspicuè corpus quoq. ipsum immutant: nonnullis hominibus etiam furores immittunt. Nimirum igitur dicendum est similiter atq. hos, affectos esse incontinenteis. Nec verò si quis rationes & sententias à scientia C ductas & profectas pronunciet, satis signi sit eum scientiæ conuenienter agere. Nam qui his animi perturbationib. æstuant, demonstrationes, & versus Empedoclis recitant: & qui primùm didicerunt, sermones illi quidem connectunt, sed nondum intelligũt. Oportet enim illa vnà cum ætate adolescere: cui rei tempore opus est. Quocirca vt histriones, sic existimãdi sũt loqui etiã incõtinentes. Prçterea hoc etiã modo D huius rei causam ex natura spectare licet. Nã cùm opiniones aliæ sint de reb. vniuersis, aliæ de singularibus, quarum sensus arbiter ac dominus est: necesse est vbi ex duabus vna affecta sit, in iis quidem, quæ sunt cognitionis, animum id, quod conclusum est enunciare, & affirmare: in iis autem, quæ sub actionem veniunt, statim agere. Vt si omne dulce gustãdum est, hoc autem est dulce, tanquam vnum de singu- E laribus necesse est, eum qui possit, quíque non prohibeatur, simul atque dictum sit, etiam agere. Cùm igitur inest vniuersa opinio, quę gustare prohibet: secũda, omnia dulcia esse iucunda: & tertia, hoc esse dulce (hæc autẽ est quæ agit) & inhæret fortè cupiditas: opinio quidẽ illa prima hoc fugere iubet, cupiditas autẽ aliò trahit. Potest. n. vnamquamq. animi partẽ commouere. Ita fit, vt à ratione & opinione quodã modo nascatur incõtinentia: nõ quòd opi- F nio per se sit rationi cõtraria, sed ex euentu. Cupiditas enim, non opinio, rectæ rationi aduersatur. Quocirca etiam propter hanc rationem, bestiæ non sunt incontinentes: quia non habent rerum vniuersarum existimationem, sed singularium visionem, & memoriam. Quo pacto autem inscientia depulsa scientiam recuperet incontinens, eadem & communis ratio est ebriorum ac dormientium,